Ακαδημία Αθηνών / Academy of Athens

*οἱ δὲ φοροῦνται κωφοὶ ὁ μ ῶ ς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα* Ἀρχύτας 4.5 *καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁ μ ῶ ς, εἰ μὲν εἰδέων τεὰ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν* **2.** Ὁμοια/ένιαῖα, similarly/uniformly, Παρμενίδης 8.49 *οἷ γὰρ πάντοθεν ἶσον, ὁ μ ῶ ς ἐν πείρασι κύρει.* || **εἰς ὁμόν.** Παρμενίδης 8.47 *ἱκνεῖσθαι ε ἰ ς ὁ μ ό ν.*

**ὄναρ** (ἀντίθ. *ὕπαρ*). Στὸν ὕπνο/σὲ ὄνειρο, in sleep/in a dream, Δημόκριτος 174 *ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄ ν α ρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν.*

**ὄνειδος** (συνών. *ψόγος*) **1.** Ὄνειδος/καταισχύνη, ignominy, Ξενοφάνης 11.2 *πάντα θεοῖσ' ἀνέθηκαν Ὅμηρος θ' Ἡσίοδός τε, ὅσσα παρ' ἀνθρώποισιν ὀ ν ε ί δ ε α καὶ ψόγος ἐστίν, κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν* **2.** Ὄνειδος/ἀτιμία, dishonour, Δημόκριτος 218 *πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄ ν ε ι δ ο ς κέκτηται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**ὀνήιστος 1.** Ἀξιώτατος/ἐξαίρετος, most worthy/distinguished, Ἡράκλειτος 121 *Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀ ν ή ι σ τ ο ν ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀ ν ή ι σ τ ο ς ἔστω, εἰ δὲ μή, ἄλλη τε καὶ μετ' ἄλλων* **2.** Χρησιμώτατος/ὠφελιμώτατος, most useful/most profitable, Ἀναξαγόρας 4.9 *καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα, ὧν ἐκεῖνοι τὰ ὀ ν ή ι σ τ α συνενεγκάμενοι εἰς τὴν οἴκησιν χρῶνται.* Πρβλ. *ἄριστος, ἐσθλός, χρηστός, χρήσιμος.*

**ὄνομα 1.** Ὄνομα/ἔννοια, name/signification, Ἡράκλειτος 23 *Δίκης ὄ ν ο μ α οὐκ ἂν ᾔδεσαν, εἰ ταῦτα μὴ ἦν* 32 *ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄ ν ο μ α* **2.** Ὄνομα/ὀνομασία, name/naming, Ἡράκλειτος 48 *τῷ οὖν τόξῳ ὄ ν ο μ α βίος, ἔργον δὲ θάνατος* Παρμενίδης 8.38 *τῷ πάντ' ὄ ν ο μ (α) ἔσται, ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ, γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχὶ* 19.3 *τοῖς δ' ὄ ν ο μ' ἄνθρωποι κατέθεντ' ἐπίσημον ἑκάστῳ* Δημόκριτος 283 *πενίη πλοῦτος ὀ ν ό μ α τ α ἐνδείης καὶ κόρου· οὔτε οὖν πλούσιος ⟨ὁ⟩ ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ